ἐνέργειαν ἔχειν, τὸ ὑπείκειν ἀεὶ ταῖς ἐνεργείαις τῶν εἰδῶν, ὅπως ποτὲ αὐτενεργούντων τοῦ ἐπικρατοῦντος γενομένη, τὸ κατ᾽ εἶδος τῶν σωμάτων μερίζεσθαί πως, τὸ πάντα τὰ τῶν εἰδῶν ἰδιώματα προσποιεῖσθαι ἐν μέρει, τὸ ὡς ἀρχὴν, ἀφ᾽ ἧς ὑπονοεῖσθαι τοῦ φυσικοῦ σώματος, πράγματι αὐτὸ μετὰ τοῦ εἴδους συνιστῶσα. διὸ καὶ ἐρᾶν τοῦ εἴδους λέγεται, ὡς αὐτὴ τούτου μήτε οὖσα, μήτε δυναμένη τι.

Τὰ δὲ φυσικὰ σώματα διακριθέντα κατ᾽ εἶδος ἐν πρώτοις ὑπὸ τοῦ Δημιουργοῦ, καὶ ἀναμεριθέντα τὰς δυνάμεις καὶ ἐνεργείας δρᾶν πρὸς ἄλληλα, καὶ συνέχει τὰς ἕξεις καὶ ποιότητας, καὶ σώζει τὰς κινήσεις καὶ πάντα ἐνεργεῖ καθ᾽ εἱρμὸν ἐκ πρωτογόνου γενέσεως.

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ διαιρέσεως γενικῆς τῶν σωμάτων, καὶ περὶ τῶν ἰδίων τῶν πρώτων σωμάτων, καὶ ὅτι οἱ λέγοντες ἀρχὴν μεταφυσικὴν τὴν ὕλην, πλημμελοῦσι· καὶ οἱ ἐξάγοντες τὰ εἴδη ἐκ τῆς πρώτης ὕλης, τὴν ὕλην ἀγνοοῦσι.

Διαιρεῖται οὖν τὸ φυσικὸν κατὰ πρώτην τομὴν εἴς τε τὸ ὑπερβεβηκὸς καὶ εἰς τὸ ὑποβεβηκὸς, καὶ ὑπερβεβηκὸς μὲν ὁ αἰθήρ. ὑποβεβηκὸς δὲ πῦρ, ἀὴρ, ὕδωρ, γῆ· καὶ ὁ μὲν αἰθὴρ διαιρεῖται εἴς τε τὸ ἐνεργείᾳ διαφανὲς, καὶ εἰς τὰ φωτεινὰ, καὶ σελασφόρα μέρη. τὰ δὲ ὑποβεβηκότα συνδιαιρεῖται παντοίως, καὶ φύρσει, μίξει, κράσει, συμπλοκῇ, καὶ ἑνώσει στοιχεῖα παντοίων σωμάτων ὑπῆρξε καὶ διηνεκῶς γίνεται. ἐναντιώ-

τιώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τιώσεσι γὰρ συμπεπλεγμένα, καὶ ὑποκείμενα ὄντα τῇ φορᾷ καὶ ἐνεργείᾳ τῶν αἰθερίων, τὴν τε κατ᾽ ἀρχὰς τομὴν διακρατεῖ, καὶ ταύτην μετάγει καὶ προάγει καὶ ποικίλως ἀναδέχεται καὶ ἐν τοῖς συνθέτοις καὶ μικτοῖς, καὶ διὰ τῶν κατ᾽ εἶδος στοιχειακῶν αὐτῶν μορίων τῇ φύσει ὑπουργεῖ.

Τοῦ μὲν αἰθέρος ἴδια, τὸ ἐλάσσονος ὕλης μετέχειν, τὸ ἐνεργὸν καὶ δραστήριον ἐν τοῖς ὑποβεβηκόσι, τὸ ἀπαθὲς ἐν τῇ φύσει, τὸ ῥοῶδες καὶ εὐκίνητον, τὸ κύκλῳ φέρεσθαι καὶ δινεῖσθαι, τὸ συγκινεῖν τὰ ὑποβεβηκότα. ἐν μέρει δὲ τὸ διαφανὲς καὶ σελασφόρον. τῶν δὲ σελασφόρων ἴδιαι ἑκάστου αἱ ἐνέργειαι καὶ αἱ δυνάμεις, ὅτι, καὶ αἱ κινήσεις. ἴσως δὲ καί τινες ἄλλαι ἰδιότητες ἡμῖν ἔμπης ἄγνωστοι. ὥσπερ γὰρ τῷ τόπῳ, οὕτω τοι καὶ τῇ γνώσει τῶν οὐρανίων σωμάτων ἀπέχομεν.

Τῶν δὲ ὑποβεβηκότων σωμάτων, κοιναὶ μὲν ἰδιότητες τὸ εὐπαθὲς καὶ τρεπτὸν ἐν τῇ ὕλῃ, τὸ ἀλλήλοις μάχεσθαι καὶ ἀντικεῖσθαι, τὸ ἐν μέρει ἀλλοιοῦσθαι, τὸ μεταμείβειν τοὺς τόπους κατὰ τὴν ἐν μέρει ἀλλοίωσιν καὶ τροπήν, τὸ συνθέειν ἁρμονικῶς εἰς σύστασιν τῶν μικτῶν καὶ συνθέτων, τὸ ἀπ᾽ αὐτῶν ὑποχωρεῖν διὰ τὰς ἐνούσας αὐτοῖς ἐναντιότητας, τὸ κινούμενα συγκινεῖν, καὶ ἀλλοιούμενα συναλλοιοῦν τὰ παρακείμενα καὶ συμπίπτοντα, τὸ ἰδίους ὁλικῶς ἔχειν τόπους, τὸ ἐν μέρει διαθέοντα δι᾽ ἀλλήλων πάσχειν, καὶ ποιεῖν τἀναντία ὑπὸ τῶν ἐναντίων.

Ἴδια δὲ τῶν ὑποβεβηκότων, τοῦ μὲν πυρὸς τὸ θερμὸν καὶ ξηρόν, τοῦ δὲ ἀέρος τὸ θερμόν, καὶ ὑγρόν, τοῦ δὲ

ὕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὕδατος τὸ ὑγρὸν καὶ ψυχρὸν, τῆς δὲ γῆς τὸ ξηρὸν καὶ ψυχρόν. τὸ μὲν οὖν θερμὸν ἐστι συγκριτικὸν τῶν ὁμοφυῶν, διακριτικὸν δὲ τῶν ἐναντίων. τὸ δὲ ψυχρὸν ἀνάπαλιν συγκριτικὸν τῶν ἑτεροφυῶν. ὑγρὸν δὲ τὸ μὴ οἰκείῳ ὅρῳ, παντὶ δὲ ἑτέρῳ ὁριζόμενον, ξηρὸν δὲ τοὐναντίον τῷ οἰκείῳ ὅρῳ περατούμενον, καὶ ὁριζόμενον. ἐν τούτοις δὲ τὰ πρῶτα περὶ ἡμᾶς σώματα, ἃ καὶ στοιχεῖα καλεῖται, γνωριζόμενα, καὶ τόπους ἰδίους, καὶ ἰδιότητας διαφερούσας κατ' ἐνέργειαν κεκλήρωται. πῦρ γὰρ τὴν ἀνώτατην ἔχει τόπον, ὅτι καὶ ἔκτασιν μείζονα τῶν ἄλλων ἔχει ἐν ἴσῃ τῇ ὕλῃ. ἀὴρ δὲ τὴν ὑποβεβηκότα κατέχει τόπον, ὅτι καὶ ἐλάσσονα ἔκτασιν ἔχει. ὕδωρ δ' ἔτι τὴν ὑποβεβηκότα, ὅτι ἔτι ἐλάσσονα ἔχει. καὶ τελευταῖον γῆ τὸν ἔσχατον, ὅτι καὶ μικρὰν ἔχει τὴν ἔκτασιν. οὐ γὰρ ἐν τῇ τυχούσῃ ὕλῃ τὸ τυχὸν φυσικὸν εἶδος παρουσιάζει, ἀλλ' ὥρισται κατ' εἶδος καὶ ἡ ὕλη, καὶ κατ' αὐτὴν καὶ ἡ ἔκτασις· ὅθεν ἐπακολουθεῖ τῷ μὲν πυρὶ τὸ ἐνεργὸν καὶ διαβατικὸν, τῷ δὲ ἀέρι τὸ εὐδιάχυτον, καὶ εὐδιαίρετον, καὶ εὔοριστον, καὶ ἐλαστικόν. ἔλαττον δὲ τῷ ὕδατι ἑκάτερον. τῇ δὲ γῇ τὸ βαρὺ, καὶ ἀργόν. ἐν οὖν τῇ γενέσει ἀλλοιούμενα κατ' εἶδος, τοῦ ἐπικρατοῦντος μεταλαμβάνει τὰς ἰδιότητας, καὶ μεταδιώκει τὸν τόπον, ἄνω ἢ κάτω φερόμενα, ἐπιασπεύδοντα τὸν κατὰ φύσιν καταχεῖν τόπον, καὶ αὕτη ἐστὶν ἡ κατὰ φύσιν φορὰ τῶν στοιχειακῶν μορίων, ἐξ ὧν καὶ ἡ τῶν συνθέτων, καὶ μικτῶν ὁρίζεται.

Τοῖς οὖν φυσικοῖς τούτοισι σώμασι κοινῇ καὶ ἰδίᾳ δυνάμεσι, καὶ ἰδιότησι καὶ ἐνεργείαις διακρινομένοις,

καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ ταῦτα οὐκ ἐξ ὕλης, ἀλλὰ κατ' εἶδος πλουτῶσι, κοινὸν μὲν ὑποκείμενον ἡ ὕλη ἐστιν, εἰ καὶ ἀργὸν καθ' ἑαυτὴν, καὶ πάσης ἐνεργείας ἄμοιρος, ταύτην μόνην σχῶσα, ἤτοι δύναμιν, ἢ δεξιότητα, τὸ ἀδιαφόρως ἔχειν πρὸς τὰ φυσικὰ εἴδη, καὶ ὑποδέχεσθαι ταῦτα ὑπομένουσα, ὡς δὲ κατ' ἀφαίρεσιν ἀπὸ τῶν εἰδῶν ὑπονοουμένη μὴ ὄν, τὸ δυνατὸν ἁπλῶς οὐκ ὀρθῶς τισιν ἔδοξε· φυσικῶν γὰρ σωμάτων ἀρχὴ, οὐ τὸ ἁπλῶς δυνατὸν, ἀλλὰ τὸ δυνατὸν ἢ δυνάμει διαιρετὸν, ταυτὸν εἰπεῖν ἢ δυνάμει ἐκπεπαμένον καὶ συνεχῶς ὄν. τοιοῦτον δὲ ἡ ὕλη αὐτὴ μὲν καθ' ἑαυτὴν ἀόριστος, καὶ μηδέν τι ἔχουσα, παντοία δὲ μετὰ τῶν εἰδῶν γινομένη, καὶ ταῦτα πληθύνουσα, καὶ πάσας τὰς ἰδιότητας τῶν εἰδῶν ἀναδεχομένη. ταύτην οὖν τὴν ἰδιότητα τῆς ὕλης καὶ θαυμάσειέ τις εἰκότως, τὰς δὲ φαινομένας ποιότητας δυνάμεις τε καὶ ἐνεργείας τῶν φυσικῶν σωμάτων ἀφαιρήσας τῶν κατ' αὐτὰ εἰδῶν, ἀλόγως προσαποδώσει τῇ ὕλῃ. ἐνῆκε γὰρ ἐν τοῖς σώμασιν ἐπὶ τῆς ὕλης ταύτας τὰς ἰδιότητας, καὶ ἐνεργείας κατ' εἶδος ὁ Δημιουργός. διὸ καὶ τὰς δυνάμεις καὶ ἐνεργείας τῶν φυσικῶν σωμάτων ἐκ τοῦ εἴδους γνωρίζομεν, καὶ τὸ εἶδος ἀνάπαλιν ἐξ αὐτῶν. καὶ σωματικαὶ μὲν λέγονται καὶ ὑλικαὶ ὅτι ἐν ὕλῃ καὶ σώμασιν, ἀλλ' ἔξωθεν ἐκ τοῦ ποιοῦντος ἐγγίνονται. ποιοῦν δὲ ἀεὶ τὸ πρωτόγονον εἶδος ἑκάστου. ἵνα δὲ ἀκριβέστερον ταύτας ἐπιθεωρήσωμεν, περὶ ὧν οἱ Φυσιολογοῦντες πολὺν ποιοῦνται τὸν λόγον, ἄγε δὴ κατὰ μέρος ἐπίωμεν. ἀλλὰ πρῶτον περὶ χρόνου καὶ τόπου ῥητέον.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΚΕΦΑΛΑΙΟΝ Γ'.

## Περὶ Τόπου, καὶ Χρόνου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Χρόνος μὲν οὖν ἐπὶ τῆς τῶν γεννητῶν ὑπάρξεως ἐπακολούθημα, τόπος δὲ τῆς τῶν σωμάτων ἐκτάσεως σύμβαμα. ἐν ῥοῇ γὰρ πάντα τὰ γεγονότα, ὅθεν ἤρξατο, καὶ εἴς τι λήξει, νοεῖται, καὶ τῆς ὑπάρξεως αὐτῶν ἡ παράτασις ἐστιν ὁ χρόνος. διὸ ὁ μὲν τῆς συνυπάρξεως τῶν ὅλων γεννητῶν, καὶ κοινὸς καὶ ὁμαλὸς λέγεται, καὶ τῇ οὐρανίῳ φορᾷ μετρεῖται. ὁ δὲ ἑκάστου τῶν περιγείων ἀνώμαλος ἐστιν ἴδιος ὤν, καὶ τῇ πρὸς τὸ κοινὸν ἀναφορᾷ ἐπιμετρεῖται, ῥοῦς ὢν διαφέρων ἐν γενέσιν ἐν εἴδεσι περὶ ἕκαστα τῆς ὑπάρξεως. καὶ οὗτος ἐστιν ὁ χρόνος ἑκάστου, ῥοή τις ὑπάρξεως τοῦ εἴδους ἐν ὕλῃ ἑκάστου ἀτόμου, ὁ φυσικὸς καὶ ἴδιος, ἰδίαν ἔχων τὴν ἀρχὴν καὶ πρόοδον καὶ τὸ τέλος, ταὐτὸν εἰπεῖν τοὺς ὅρους καὶ τὸ μέσον, ἀλλὰ καὶ τοῦτο ἀνώμαλον. διαιρεῖται δὲ ὁ χρόνος κατά τε τὸ πρότερον καὶ ὕστερον διὰ τοῦ νῦν, εἴς τε τὸ παρεληλυθὸς καὶ ἐνεστὸς καὶ μέλλον.

Ὁ δὲ τόπος ἐστὶ μὲν ἀπόλυτος, ἔστι δὲ καὶ σχετικός. καὶ ἀπόλυτος μέν ἐστι τὸ μέτρον τῆς ἐκτάσεως παντὸς σώματος, εἴτουν τὸ μετρούμενον διάστημα ὑπὸ τῆς ἐκτάσεως παντὸς σώματος φυσικοῦ. ἐξ ἀνάγκης γὰρ τὸ σῶμα κεῖταί που, ὅτι καὶ ἐκτέταται. ὁ δὲ σχε-



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τικός ἐστι, τῶν κατ' εἶδος σωμάτων ᾗ κεῖνται πρὸς ἄλληλα, ὥστε ὁ μὲν ἐστι προσήκων τοῖς σώμασι κατ' ἔκτασιν καὶ διάστασιν, ὁ δὲ κατὰ θέσιν καὶ σχέσιν. διὸ καὶ πληθύνει τὰς κλήσεις.

Πᾶν οὖν σῶμα ἐν τόπῳ, διότι ἔκτασιν ἔχει, καὶ οὐσιώδης εἰς σύστασιν τοῦ φυσικοῦ σώματος ἡ ἔκτασις, ἀλλ' οὐκ ἀρκεῖ, ὅτι καὶ τὸ μαθηματικὸν σῶμα ἐν τῇ τριτῇ διαστάσει νοεῖται, καὶ ὁ τόπος. προσδεῖ ἅμα καὶ ἑτέρων εἰς σύστασιν. ὅθεν τισὶν ἔδοξε τὸ ναστὸν καὶ πλῆρες, μὴ εἰδόσιν ὅθεν ἡ πλήρωσις. τὴν γὰρ ὕλην ἢ ὅλως ἀπεῖπον, ἢ αὐτὰ τὰ σμικρότατα παρ' αὐτοῖς σωμάτια μετωνόμασαν. προσδεῖ δὲ ἑτέρων, καὶ προσελάβετο τό,τε εἶναι περιπαθὲς, καὶ ἐνεργὸν ἅμα, τὸ μὲν διὰ τὴν ὕλην, τὸ δὲ διὰ τὸ εἶδος. τὸ γὰρ μαθηματικὸν σῶμα καὶ ὁ τόπος δι' αὐτὰ, καὶ καθ' αὐτὰ ἀργὰ, ψιλῇ τῇ ἐπινοίᾳ διαιρούμενα· τὸ δὲ φυσικὸν σῶμα ἀρχὴν ἔχει ἐν ἑαυτῷ κινήσεως, καὶ ἠρεμίας. διὸ καὶ φυσικόν. αὕτη γὰρ ἡ φύσις. τῇ δὲ ἐκτάσει τῆς ὕλης ἐπισυντρέχει αὐτῷ κατὰ τὸ συνεχὲς εἶναι καὶ τὸ ναστὸν καὶ πλῆρες, οὐ κατὰ ζυγοσταθμίαν τῆς ὕλης· ταὐτὸν εἰπεῖν τοῦ ὄγκου ἢ τοῦ βάρους ἀντιταλαντευόμενον, ἀλλὰ τῷ εἴδει κατὰ φύσιν ἑπόμενον, οὐδὲ ἐν τῷ ἀδιαιρέτῳ τῶν σωματίων συγκλειόμενον, καὶ ὁριζόμενον, καὶ τόποις συμμετρούμενον, ἵνα ὦσι καὶ ἄτομα, καὶ τὸ καινὸν ἐν τῇ φύσει ἀρχαὶ, καὶ ἡ τομὴ τῶν συνθέτων ῥαδία γένηται.

Ἀλλὰ καὶ πᾶν σῶμα φυσικὸν ἐν χρόνῳ ἐστὶν, ὅτι ἐν ῥοῇ ἐστι τοῦ οἰκείου εἴδους. οὐ γὰρ οὐδὲ τὰ δο-

κοῦν-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ν.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κῦντα διαμένειν, κατ' εἶδος ἀκίνητα διατελεῖ. ἅπας γὰρ ὁ αἰθὴρ ἐν ἀλήκτῳ ῥοῇ συνυσίωται, καί τοι μὴ ἐξισάμενος. ἐν ἑαυτῷ γὰρ συςρεφόμενος, καὶ ὅλως δι' ὅλων τῶν ἑαυτῦ μερῶν διαθέων, καὶ ὁμαλῶς ῥέων, ἐμμόνως κατέχει τὸ ἑαυτοῦ εἶδος ἀσινές· τἄλλα δὲ σώματα φθίνοντα ἐν μέρει, καὶ γενόμενα ἀλήκτως κατὰ τὴν διηνεκῆ αὐτῶν ῥοὴν καὶ κίνησιν, καὶ τὸν σφίσιν ἴδιον χρόνον ἐξίςανται, καὶ κινῦνται. πάντα γὰρ τὰ ὑπὸ σελήνην εἴδη, κοινὴν ἔχοντα τὴν ὕλην, τῆς προσεχῦς ἐν μέρει ἐπιλαμβάνονται ἐπαύξοντα, καὶ ἐξίςανται φθίνοντα, τὴν ἰδίαν ὑποχωρῦντα ἑτέροις. ὥςε κἂν ποτέτισι ἐμμένειν δοκῇ τὸ εἶδος, ὑποῤῥεύσης τῆς ὕλης συῤῥέει ἐν παντὶ τῶν ἐν τῇ φύσει σωμάτων· ὅθεν καὶ πάντα ἐν ῥοῇ καὶ ἀποῤῥοῇ πεφιλοσόφηται.

Παρέπεται δὲ τῷ σώματι καὶ σχῆμα. τὰ δὲ σχήματα μυρία ὅσα, καὶ ἀριθμῷ ἀπερίληπτα εἰσὶν ἐν τοῖς περὶ ἡμᾶς φυσικοῖς σώμασι, κατά τε τὰς πρωτογόνυς τομὰς καὶ ἑξῆς ἐπαφὰς καὶ τμήσεις, καὶ τὰς κατὰ φύσιν ἀεὶ διαιρέσεις ἐν τῇ συνθέσει καὶ συμπλοκῇ τῶν ςοιχείων, καὶ τῇ εὐτάκτῳ διαθέσει καὶ ἁρμονίᾳ τῆς φύσεως. τῶν δὲ πρώτων καὶ ὁλικῶν σωμάτων συμπάντων δοκεῖ τὸ σχῆμα σφαιροειδές. σφαιρικῦ γὰρ ὄντος τῦ αἰθέρος, ὡς ἔςιν ἔκτε τῆς κινήσεως καὶ τῆς ὄψεως εἰκάζειν, καὶ λόγοις πείθεσθαι, καὶ τὸ ὑποβεβηκὸς σύμπαν, εἴτ' ὖν καὶ πῦρ καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ τῷ αἰθέρι ἑπόμενα συσφαιρῦνται, ἐκεῖθεν συνελαυνόμενα, καὶ τῇ ἀλήκτῳ καὶ σφοδροτάτῃ περιςροφῇ καὶ ἐ-

νερ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Σ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νεργείᾳ διακρινόμενα, συγκινούμενα, καὶ συσχηματιζόμενα. οὐ γὰρ ἄλλως περατούμενα συνείχετο συνεχῶς, καὶ ἀναλόγως μετεῖχε τῆς ἐνεργείας τοῦ αἰθέρος, οὔτε πάσης ἐκ πάντων ἀεὶ τῶν μερῶν κοινωνεῖν εἶχεν, οὔτ᾽ ἐν σχέσει εὐρύθμῳ τὰ μέρη ἐν ὅλῳ ἂν κέοιτο. τί γὰρ ἡμῖν κύκλον ἥλιος καὶ ἀστέρες κινούμενοι διαγράφουσιν, ἢ ὅτι ὁ οὐρανὸς σφαιρικὸς ἐπικαταγγέλλουσι. τὰ γὰρ μέρη οὕτως ὁμαλῶς, καὶ ὀξέως κινούμενα, καὶ τοῦ ὅλου τὸ σχῆμα παρίστησι, καὶ τὸ μέγα τοῦτο τοῦ αἰσθητοῦ κόσμου διαγράφει, καὶ ὑποτυποῖ πάγκαλον σύστημα. τῶν μὲν οὖν στοιχείων τὰ ὅλα οὕτως ἐσχημάτισται κατὰ τὸν αἰθέρα. εὔλογον ἄρα τὸ μὲν πῦρ ἐκ πυραμίδων ἀναπλάττειν, τὸν δὲ ἀέρα ἐξ ὀκταέδρων, τὸ δὲ ὕδωρ ἐξ εἰκοσαέδρων, τὴν δὲ γῆν ἐκ κύβων· τέμνονται γὰρ κατὰ μέρη ἀδιαφόρως, καὶ παντοῖον λαμβάνουσι σχῆμα.

Ἐκ τῶν ἀνωτέρω συνάγεται.

## Πόρισμα α΄.

Τὰ ἁπλᾶ σώματά εἰσιν ἀρχικὰ καὶ πρῶτα καὶ τῆς ὑπάρξεως αὐτῶν οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος πρότερον, ἀλλὰ σὺν αὐτοῖς, καὶ ἐν αὐτοῖς ὑπῆρξαν.

## Πόρισμα β΄.

Αἱ εἰδικαὶ δυνάμεις ἀχώριστοι τῆς ὕλης, καὶ ἡ ὕλη τῶν σωμάτων.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΣΤΑΥΡΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα γ'.

Αἱ εἰδικαὶ δυνάμεις καὶ ἐνέργειαι τῶν ἁπλῶν σωμάτων δι' ἀλλήλων χωροῦσι διὰ τὴν κοινωνίαν τῆς ὕλης.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Πόρισμα δ'.

Περιτρέπονται τὰ εἴδη, καὶ γίνονται καὶ φθείρονται ἐν μέρει τὰ ἁπλᾶ ὑπὸ σελήνην σώματα διὰ τὴν ἐναντιότητα τῶν ἐν αὐτοῖς χαρακτηριστικῶν δυνάμεων, καὶ τὰς ἐξ αὐτῶν ἐνεργείας.

## Πόρισμα ε'.

Ἐν τοῖς συνθέτοις ἐπιμεμιγμέναι κατά τινα ἀναλογίαν αἱ ἐναντίαι δυνάμεις καὶ ἐνέργειαι τῶν ἁπλῶν σωμάτων εἴτ' οὖν τῶν στοιχείων συνέρχονται καὶ οἱονεὶ φθόγγοι ἁρμονικῶς συνιστῶσι παντοῖα εἴδη σωμάτων. Ἡνίκα δὲ ἐπικρατήσῃ ἡ ἑτέρα τῆς ἑτέρας λύονται τὰ σύνθετα, καὶ μεταμείβουσιν εἶδος.

## Πόρισμα ϛ'.

Ἀεὶ ἐν ῥοπῇ καὶ ἀλλοιώσει τὰ στοιχεῖα ὅτι ἀεὶ περὶ ταῦτα ὁ αἰθὴρ ἀλλοίως ἐνεργεῖ.

Πό-

Ε.Υ. Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα ζ'.

Ἀεὶ ἐν πάθει τὰ σύνθετα σώματα, ὅτι καὶ ἐν ἐναντιώσει τὰ ἁπλᾶ, ἐξ ὧν ταῦτα.

## Πόρισμα ή.

Πᾶσα γένεσις καὶ φθορὰ ἐν τοῖς ὑπὸ σελήνην διὰ τῶν σοιχειακῶν δυνάμεων ὑπενεργεῖται.

## Πόρισμα θ'.

Ἐν τῇ συζυγίᾳ τῶν σοιχείων ἐγγύτης καὶ διάςασις θεωρεῖται, καὶ ἐγγύτης μὲν ἡ ἔχουσα σύμβλημα ἐν δυσὶ κοινὸν, οἷον τὸ θερμὸν ἐν πυρὶ καὶ ἀέρι, καὶ τὸ ψυχρὸν ἐν ὕδατι καὶ γῇ, καὶ τὸ ξηρὸν ἐν γῇ καὶ πυρὶ, καὶ τὸ ὑγρὸν ἐν ἀέρι καὶ ὕδατι· διάςασις δὲ τὐναντίον· ὅσα γοῦν ἐγγύτητα ἔχουσι, θᾶττον εἰς ἄλληλα μεταβάλλουσιν, ὅσα δὲ ἐν διαςάσει, βραδέως, διὰ τὴν διπλῆν ἀντίθεσιν.

## Πόρισμα ί.

Αἱ πρωτόγονοι χαρακτηριςικαὶ τῶν σοιχείων δυνάμεις εἰσι παραίτιοι καὶ τῶν ἑπομένων αὐταῖς ἰδιοτήτων, καὶ τῶν ἐν τοῖς συνθέτοις διαφορῶν.

Πό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα ιά.

Πάντα τὰ σώματα ἀντενεργεῖ πως πάσχοντα, ὅτι πάντα ἔχει ἐνεργόν τι εἶδος, τὸ δὲ εἶδος ἑαυτοῦ σωστικὸν ἐστὶν ὅθεν ἡ ἀντενέργεια, δι᾽ ἣν καὶ ὑφίεται καὶ λήγει πολλάκις ἡ ἐνέργεια τοῦ ποιοῦντος ἐν τῷ πάσχοντι, καὶ παύει ἡ ἀλλοίωσις μὴ προσχοῦσα τὸ ἐντελὲς τοῦ ποιοῦντος εἶδος.

## Πόρισμα ιβ΄.

Ἐν ταῖς ἐπαφαῖς τῶν στοιχείων σταθμοὶ οἱονεὶ ἀριθμικοὶ τῶν ἀλλοιώσεων, καὶ αὐξήσεις καὶ μειώσεις ἐγγίνονται, ἢ διὰ τὸ συμφυὲς ἐπιτεινομένων, ἢ διὰ τὸ ἀντίξουν ὑποχαλωμένων τῶν ἐνεργειῶν. εἰσὶ δὲ ἐπαφαὶ καὶ μείζους καὶ ἐλάσσονες κατὰ τὰς ἐπιτρεχούσας τμήσεις τῶν στοιχειακῶν μορίων. διὸ καὶ ἀλλοῖα πως πολλάκις τὰ ὁμοιοειδῆ.

## Πόρισμα ιγ΄.

Ἐν τῇ διακοπῇ τῶν ἀλλοιώσεων μολυσμὸς τῆς φυσικῆς ἐνεργείας ἐγγίνεται, καὶ ἀπόπτωσις τοῦ τέλους. πᾶσα γὰρ κατὰ φύσιν ἐνέργεια ὥρισται ἐκ τοῦ τέλους, καὶ πρὸς αὐτὸ σπεύδει, ἑαυτοῦ γὰρ ἕνεκα ποιεῖ τὸ ποιοῦν. διὸ καὶ συνεχὴς ἐξ ἀνάγκης.

Πό-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα ιδ'.

Αἱ τμήσεις καὶ διαιρέσεις τῶν στοιχείων δυνάμει ἄπειροι εἰσι διὰ τὸ συνεχὲς, ὡρισμέναι δὲ τῇ φύσει. πᾶν γὰρ τὸ ἐνεργείᾳ ὂν ἐν τῇ φύσει ὥρισται. διὸ καὶ τὰ μόρια αὐτῶν, δι' ὧν καὶ ἐν οἷς τὰ μικτὰ, καὶ σύνθετα, καὶ σχήματι καὶ μεγέθει παντοῖα μὲν εἰσι, καὶ ἀριθμῷ ἀπερίληπτα, ἀλλ' ὡρισμένα.

## Πόρισμα ιε'.

Ὁ τόπος ὑποδεικνύει τὸ εἶδος τοῦ σώματος καὶ τὸ εἶδος ἐπιζητεῖ, καὶ ἐπισπεύδει ἐπὶ τὸν ἴδιον κατὰ φύσιν τόπον.

## Πόρισμα ιϛ'.

Ὁ μέσος τόπος κατάλληλος τοῖς συνθέτοις. τὰ γὰρ ἄκρα ἀπρόσφορα. σύνθετοι οὔτε ἐν πυρὶ, οὔτε ἐν βάθει γῆς ἑτεροειδῆ.

## Πόρισμα ιζ'.

Ὁ χρόνος τῆς ἑκάστου ὑπάρξεως μετρεῖ τὴν ῥοὴν τοῦ εἴδους ἐν ἑκάστῳ σώματι· καὶ ἡ ῥοὴ ὁρίζει τὸν χρόνον. ἐν ἀδιαιρέτῳ ἄρα ἄρχεται καὶ λήγει τὰ χρονικά.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Πόρισμα ιή.

Ἡ γένεσις ὡς ἀρχὴ συνέχει δυνάμει τὸν ὅλον ἑκάστῃ χρόνον, ὅτι αὕτη διατυποῖ καὶ τὸ εἶδος καὶ τὰς εἰδικὰς δυνάμεις, καὶ ἐνεργείας.

## Πόρισμα ιθ'.

Παρὰ τὴν οὐσίαν καὶ τὴν καθ' ἕκαστα ὕπαρξιν οὐδὲν πλέον ἐπὶ τῶν ἀΰλων νοεῖν ἔχομεν· ὅσα δὲ ἢ ζητεῖ, ἢ πλάττει ἡ φαντασία περὶ αὐτῶν ἐκ τῶν ὑλικῶν προσλαμβάνει, καὶ προσπλάττει τοῖς ἀΰλοις, οἷον ἔκτασιν, διάστασιν, τόπον, καὶ τὴν κατὰ τόπον κίνησιν, καὶ τὰ ὅμοια. εἰκάζομεν δὲ τὰς τῶν ἀΰλων ἐνεργείας ἐκ τοῦ ἡμετέρου νοός, ὅθεν ἐφορμῶντες καὶ περὶ αὐτῶν ἐν τοῖς μεταφυσικοῖς φιλοσοφοῦμεν.

## Πόρισμα κ'.

Ἐν τῇ κατὰ φύσιν ἄρα μεταβολῇ τῶν στοιχειακῶν μορίων ἀναγκαία ἡ ἐπ' εὐθείας κίνησις, ἔκστασις γὰρ ἀπό τινος εἴς τι, ὥστε ὁ ἀφ' οὗ ὅρος διΐσταται τοῦ πρὸς ὅν, ἄρα καὶ ἡ κίνησις διαφέρει τῆς κύκλῳ, συνημμένως ἐχούσης. παρὰ δὲ τὴν κύκλῳ ἐν τῇ φύσει πρώτη καὶ ἁπλῆ ἡ ἐπ' εὐθείας. ἐπὶ ταύτην τοίνυν ἀποδίδει τὸ μεταβαλλόμενον πρώτως, εἴτε ἄνω θέει, εἴτε κάτω ὁρμᾷ, τὸν προσήκοντα τῷ εἴδει τόπον κα-

τα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταλαβεῖν. τὰ δὲ λοιπὰ εἴδη τῆς φορᾶς ἐν συνθέσει ἐκ τῶν προσβολῶν, καὶ ἀντιστάσεων τῶν ἑτεροειδῶν μορίων ἐν τῷ παθητῷ σώματι.

## ΣΧΟΛΙΟΝ.

Περὶ ἀρχῶν τῶν φυσικῶν σωμάτων καὶ οἱ πάλαι καὶ οἱ ὕστερον φιλοσοφήσαντες διαφόρως ὑπέλαβον· οἱ μὲν γὰρ περὶ τὸν Πυθαγόραν τὴν μονάδα καὶ ἀόριστον δυάδα ἀρχὰς τῶν ὅλων εἰσάγοντες, ἔκ τινος ὑποκειμένου καὶ ἀριθμῶν τὰ φύσει ὄντα συνίστασθαι ᾤοντο, ταὐτὸν εἰπεῖν ἐξ ὕλης καὶ εἰδῶν διαφόρων, καὶ Πλάτων δὲ τὸν νοῦν καὶ τὴν ἰδέαν καὶ τὴν ὕλην ὑποτιθέμενος τῶν ὅλων ἀρχὰς, ταὐτὰ ἐδόκει περὶ τῶν φύσει ὄντων φρονεῖν, ὁμοίως δὲ καὶ ὁ Ἀριστοτέλης τρεῖς εἰσάγων ἀρχὰς τὴν ὕλην, τὸ εἶδος, καὶ στέρησιν σαφέστερον τὸ πυθαγορικὸν δόγμα ἐκθέμενος. Ζήνων δὲ ὁ Κιτιεὺς καὶ οἱ Στωϊκοὶ δύω εἰσῆγον τῶν πάντων ἀρχὰς, τὴν μὲν ἐνεργητικὴν, ὅς ἐστιν ὁ Θεὸς, τὴν δὲ παθητικὴν, ἥ ἐστιν ἡ ὕλη. Θαλῆς δὲ τὰ φύσει ὄντα ἐξ ὕδατος μόνου ἐποίει, καὶ Ἀναξιμένης ἐξ ἀέρος, Ἡράκλειτος δὲ καὶ Ἵππασος ἐκ πυρὸς, καὶ Ἡσίοδος, καὶ Φερεκίδης ἐκ γῆς· ὁ δὲ Ἐμπεδοκλῆς ἀρχὰς μὲν ποιητικὰς δύω φρονῶν φιλίαν καὶ νεῖκος, τέτταρα τῶν πάντων ἐτίθει ῥιζώματα πῦρ, ἀέρα, ὕδωρ, καὶ γῆν· ἀλλ᾽ οὗτοι μὲν οὕτως ληπτὰς ἀριθμῷ τὰς ἀρχὰς εἰσηγοῦντο. Ἀναξαγόρας μέντοι, καὶ Λεύκιππος μετὰ Δημοκρίτου ἀπείρους εἰσήνεγκον, ὁ μὲν τὰς ὁμοιομερείας, ὁ δὲ τὰς



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀτόμους, οὓς ϗ ζηλώσαντες οἱ νεώτεροι ὁ μὲν Λεϊβνίτιος εἰσήγαγε τὰς μονάδας, ὁ δὲ Νεύθων τὰς ἀτόμους ἀπεριλήπτους μὲν ἀριθμῷ οὐκ ἀπείρους δὲ, οὐδὲ ἀνάρχους, ἀλλὰ παρὰ τοῦ Δημιουργοῦ ἐν χρόνῳ τὸ εἶναι λαβούσας.

Ἀλλ᾽ ὁ μὲν οὖν Πυθαγόρας περὶ ἀρχῶν εἰς ὕψος προβὰς, εἰς ἰλὺν κατωλίσθησε, ϗ δοκῶν τὰ μέγιστα φοιβάζειν ὑπαινιττόμενος, αὐτόθεν ἔχει τῆς ἀπάτης τὸν ἔλεγχον· εἰ γὰρ ἡ δυὰς ἐκ παραθέσεως πρὸς τὴν μονάδα ληφθῇ, ὁμογενὴς τῇ μονάδι ἔσται, καὶ κατὰ τὴν μονάδα ἔσεται ϗ ἡ δυὰς, καὶ ἀνάπαλιν· παθητικὴ ἄρα καὶ ἀόριστος καὶ ἡ μονὰς, ϗ ἡ δυὰς τοὐναντίον ποιητικὴ, ϗ ἑκατέρα ἄναρχος ϗ αἰώνιος, καὶ ἡ ἑτέρα τῆς ἑτέρας ἀρχὴ καὶ οὐδετέρα ἀρχή· εἰ δὲ ἑτερογενὴς τίνι λόγῳ συμπέπηκται πρὸς δυάδα, καὶ πόθεν ἡ δυὰς, μὴ ἡγουμένης ὁμοειδοῦς μονάδος, δυάς· οὐκ αὖ ἄρα φύγοι οὐδὲ κρυπτομένη ἡ δόξα τοῦ Πυθαγόρου τὸν ἔλεγχον, κἂν δοκῇ περὶ τῶν φύσει ὄντων λέγειν τι μέτριον. ἄναρχον γὰρ ϗ αὐθύπαρκτον καὶ αἰώνιον τὴν ὕλην ὑποτίθησι, καθὰ ϗ Πλάτων ἐφρόνησε, ϗ Ἀριστοτέλης οὐκ ἀπηνήνατο· οἱ δὲ Στωϊκοὶ παρὰ τὸ τὴν ὕλην ἄναρχον ϗ αἰώνιον, ϗ τὴν παρ᾽ αὐτοῖς ἐνεργητικὴν ἀρχὴν δι᾽ ὅλης τῆς ὕλης ὑποτοπάζοντες, ὑπὸ τὴν εἱμαρμένην ἑκατέρων διῆγον ἀτόποις ἀτοπώτερα συντιθέντες, ϗ πῦρ τεχνικὸν, ὁδῷ βαδίζον, ἐμπεριειληφὸς ἐν τῇ γενέσει τοῦ κόσμου, πάντας τοὺς σπερματικοὺς λόγους, καὶ πνεῦμα διῆκον δι᾽ ὅλου τοῦ κόσμου φρονοῦντες, πάντα τὰ φύσει ὄντα, τὸν

κόσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κόσμον αὐτὸν καὶ τὰ μέρη τοῦ κόσμου ἀπεθέουν συνείροντες παγκοσμίους διὰ πυρὸς φθορὰς καὶ παλιγγενεσίας τοῦ κόσμου μυρίας. οὐδὲν ἄρα καὶ οὗτοι κατὰ λόγον οὔτε περὶ ἀρχῶν, οὔτε περὶ τῶν φύσει ὄντων ἐδόξαζον· ἀντιδιελόντες γὰρ τὴν ἀρχὴν εἰς ἐνεργητικὴν καὶ παθητικὴν, πάλιν εἰς μίαν συνῆγον τὴν ὕλην. ὑλικὰ γὰρ πάντα ἐφρόνουν. εἰ δὲ ἡ ὕλη ἐνεργητικὴ ὅλη δι' ὅλων, πῶς αὖθις παθητικὴ, ὅλη δι' ὅλων; οὐ γὰρ ἂν γένοιτο αὐτὸ ἐξ ἑαυτοῦ κατὰ τὸ αὐτὸ ἅμα ἐνεργητικὸν καὶ παθητικόν. εἰ δὲ παρὰ μέρος μὲν ἡ ὕλη ἐνεργητικὴ, παρὰ μέρος δὲ παθητικὴ, τίς ὁ ἀποκληρωτικὸς λόγος, τοῦ μὲν εἶναι τὸ δέ τι ἐνεργητικὸν, τὸ δέ τι παθητικὸν μιᾶς οὔσης τὴν φύσιν. ἡ γὰρ ὕλη αὐτοῖς αὐθυπόστατος καὶ φύσις τῷ ὄντι. λῆροι γοῦν ταῦτα ἄντικρυς, καὶ πλάσματα ἀνέλεγκτα, καὶ πλάνη νοὸς κενεμβατοῦντος. Θαλῆς δὲ, καὶ Ἀναξιμένης, Ἡράκλειτός τε, καὶ Ἵππασος, Ἡσίοδός τε, καὶ Φερεκίδης ἐκ μιᾶς ἀρχῆς πειρώμενοι συνιστᾶν τὰ φύσει ὄντα ἐκ στενῶν ὁρίων εἰς πεδίον ἀνέξιτον ἑαυτοῖς προελθεῖν ἔδοξαν. πῶς γὰρ ἂν ἐξ ἑνὸς στοιχείου τὰ σύνθετα γένοιτο τοσαῦτα καὶ τοιαῦτα ἀλλήλων διαφέροντα; πῶς δ' ἂν καὶ φθείροιτο μὴ ὑπὸ ἐναντίων καὶ διαμαχομένων; τί δὲ τὸ ποιοῦν; τί δὲ τὸ χαρακτηρίζον, καὶ εἰδοποιοῦν ἕκαστον; λιτῶς ἄρα λίαν οὗτοι περὶ τῶν φύσει ὄντων ἐφιλοσόφησαν.

Ἀναξαγόρου δὲ τὸν ἀνεξάντλητον κυκεῶνα τῶν ὁμοιομερῶν τίς ἂν ἀνάσχοιτο; ἀπειρίαν γὰρ σωματίων συμφέρει ὁμοίων ἀνομοίων, καὶ ἐκ τῶν ὁμοίων συντί-

θυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ Κ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

θῆσι τὰ γιγνόμενα, πάντα ἐν πᾶσι σύμμικτα φρονῶν, ἀλλ᾽ εἰ μὲν τὰ πάντα ἐν πᾶσι διανεμητικῶς λέγει, διακέκριται ἄρα, καὶ οὐ συμμιγῆ εἰσιν. εἰ δὲ τὰ πάντα ἐν πᾶσι συλληπτικῶς φρονεῖ, ἔσονται τὰ πάντα ἐν ἑνὶ ἑκάστῳ τῶν πάντων· καὶ τὸ ἓν ἄρα οὐχὶ ἕν, ἀλλὰ πολλά· καὶ τὰ πολλὰ, οὐχὶ πολλὰ, ἀλλ᾽ ἕν. καὶ ἐπὶ πᾶσι τὰ πάντα ἄναρχα, καὶ αὐθύπαρκτα καὶ αἰώνια δοξάζει, καίτοι τὸν νοῦν ἐφιστῶν τούτοις διακρίνοντα τὰς ὁμοιομερείας.

Λευκίππου δὲ καὶ Δημοκρίτου ἡ κενοφωνία καὶ ἀπεραντολογία αὐτόθεν κατάπτυστος, ὅτι οὐδένα νοῦν ἐφιστᾷ ἐν τῷ παντὶ, οὐδὲ ἀρχὴν οἶδε· σωμάτια δὲ πλάττει ἄπειρα τὸν ἀριθμὸν ἄτμητα κατεσχηματισμένα, ἄναρχα, αὐτοκίνητα, κινούμενα ἀτάκτως δι᾽ αἰώνων, παίοντα, προσπαίοντα ἀλλήλοις, καὶ ἐκ προσπαίου συνιστῶντα τὰ μείζω σώματα. ταῦτα γοῦν αὐτοῖς ἐν τῷ κενῷ ἐκ ταὐτομάτου ὡς ἀρχαὶ τῶν φύσει ὄντων σωμάτων. ἀλλ᾽ εἰ σώματα ταῦτα, πῶς ἀρχαὶ τῶν σωμάτων; καὶ εἰ ἄπειροι αἱ ἀρχαὶ, τί μὴ καὶ τὰ ἐκ τῶν ἀρχῶν; καὶ εἰ ἐκ ταὐτομάτου τὰ ἐξ αὐτῶν, τί μὴ καὶ τὰ ἐκ τῶν αὐτῶν εἰδῶν ἕτερα, καὶ ἐκ τῶν ἑτέρων, ταὐτὰ, καὶ ἀεὶ τερατόδη τὰ γενόμενα; καὶ εἰ ἀτάκτως πλέκονται, πῶς τάξις τηρεῖται; καὶ εἰ ἀλόγως φέρονται καὶ τὰ μείζω συνιστῶσι, πῶς οὕνεκά του ἕκαστον ὑπάρχει καὶ γίνεται; καὶ εἰ κόσμοι ἄπειροι ἐν κενῷ ἀπείρῳ, καὶ τὸ διατειχίζον κενὸν διΐστᾷ τὴν ἕνωσιν, κατὰ τίνα μέτρα διΐστανται ὡς μὴ συνελθεῖν, καὶ τίς ἐστιν ὁ διαχωρίσας, καὶ διαταξάμενος, καὶ χώραν ἰ-

δίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

δίαν ἐν τῷ κενῷ δοὺς, τῶν ἀπείρων ἀτόμων ἀτάκτως καὶ πλημμελῶς ἀεὶ κινουμένων ἐν τῷ κενῷ; καὶ εἰ τὰ ἄτομα σώματα, καὶ ἐκ τούτων τὰ σύνθετα, τίς ὁ ὁρίσας ἐν ἑκάστῳ γένει καὶ εἴδει τὰ ἀνήκοντα; καὶ εἰ ἐκ ταὐτομάτου ἡ σύνταξις, πόθεν εὔτακτος ἡ συντήρησις, τελεσιουργὸς ἡ γένεσις, ἡ συνύπαρξις ἀσινὴς, τὰ γένη καὶ τὰ εἴδη τῶν συνυπαρχόντων ἀπήμαντα, καὶ οἱ ὅροι τῆς φύσεως ἀπαράτρεπτοι; εἰ πάντα σώματα, ἄπεστι νοῦς κρίνων τὰ διαφέροντα, συνθεὶς τὰ κατάλληλα, ἑνίζων τὰ πολλὰ, ἄπεστι γνῶσις, ἄπεστιν ἐπιστήμη καὶ μάθησις.

Λεϊβνίτιος δὲ καὶ Νεύθων οἱ νεώτεροι ζηλώσαντες τοὺς ἀρχαίους ἐκ προλήψεως διήμαρτον· ὁ μὲν γὰρ τεκταινόμενος τὸν κόσμον ἐξ ἀΰλων τῶν μονάδων ἐδείματο. ὁ δὲ ὑποστρώσας τὰ ἄτομα, καὶ πρώτην τούτων ὑποθεὶς δημιουργίαν, ἐξ αὐτῶν τῶν φύσει ὄντων ἀνίστησι τὴν οἰκοδομὴν, ὡς προϋφεστώσης ὕλης χρήζοντος τοῦ Δημιουργοῦ, ἐπιλαθόμενος ὡς οἱ τὰ τοιαῦτα πάλαι εἰσάγοντες, προϋπάρχειν τῶν φύσει ὄντων τὴν ὕλην ὑπέθεντο.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

*Περὶ μανότητος καὶ κουφότητος, πυκνότητος καὶ βαρύτητος τῶν στοιχείων καὶ τῶν παρεπομένων ἰδιοτήτων.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ταῖς οὐσιώδεσι καὶ χαρακτηριστικαῖς ἰδιότησι τῶν στοιχείων ἕπονται ἡ μανότης, καὶ πυκνότης, τοῦ μὲν θερμοῦ καὶ δραστηρίου ἡ μανότης, τοῦ δὲ ψυχροῦ, καὶ νωθροῦ ἡ πυκνότης. ὅσα γὰρ ἐγγύτερον εἰσι τοῦ αἰθέρος, ἐλάσσονος μὲν ὕλης, μείζονος δὲ ἐκτάσεως καὶ δραστικότητος μετέχουν, ὅσα δὲ πορρωτέρω, ἐλάσσονος ἐκτάσεως, νωθείας δὲ καὶ πυκνότητος πλείονος. ἐντεῦθεν πῦρ μὲν καὶ ἀὴρ μανώτατα, καὶ μᾶλλον δραστήρια, ὕδωρ δὲ πυκνότερον, καὶ γῆ ἀργὴ καὶ πυκνοτάτη· οὐ γὰρ ἡ ὕλη μετρεῖ τὸ εἶδος, ἵνα καὶ τὴν ἔκτασιν μετρήσῃ, ἀλλὰ τὸ εἶδος τὴν ὕλην. οὐδὲ γὰρ ὑφέστηκε καθ' ἑαυτὴν ἡ ὕλη, οὐδ' ὑποστῆναι δύναται, ἀλλ' ἐν τοῖς εἴδεσιν, εἴτουν σώμασιν. ἡγεῖται γοῦν τὸ εἶδος τῆς ὕλης τοῦ τε εἶναι, καὶ τοῦ οὕτως ἢ οὕτως ὑπάρχειν, εἰ καὶ ὑποτίθεται ἐν τῷ λόγῳ ἡ ὕλη. σώματος δὲ τὸ μὲν συνεχὲς ἰδιαίτατον, τὸ δὲ ἐμβριθὲς οὐκ ἀναγκαῖον, τό, τε ποσὸν τῆς ἐκτάσεως ὁρίζει τὸ εἶδος ἑκάστου.

Ἕπεται δὲ τῇ μὲν μανότητι ἡ κουφότης τοῦ σώματος, τῇ δὲ πυκνότητι ἡ βαρύτης, ὥστε τὸ μανώτερον ἧττον καὶ δραστικώτερον κατὰ φύσιν καὶ κουφότερον, τὸ δὲ πυκνότερον, καὶ βαρύτερον καὶ νωθρότερον. καὶ ἐν ἴσῃ

τῇ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῇ ὕλῃ (λόγῳ μεριζομένῃ) τὸ κουφότερον ἐν μείζονι τῇ ἐκτάσει, διότι καὶ μανώτερον, καὶ τὸ βαρύτερον ἐν ἐλάσσονι τῇ ἐκτάσει, διότι καὶ πυκνότερον. ὁ δὲ ἐπιζητούμενος τόπος ἐν τῇ κατὰ φύσιν μεταβολῇ προδήλως τὸ ποσὸν τῆς ἐκτάσεως δεικνύει, ἡ δὲ ἔκτασις τὸ εἶδος.

Ὁμοίως συνέπεται τῇ μὲν μανότητι τὸ εὐδιάχυτον, τῇ δὲ πυκνότητι τὸ στεγανόν· συνέπεται δὲ τῷ μὲν εὐδιαχύτῳ τὸ δυνάμει διαφανὲς, τῷ δὲ στεγανῷ τὸ ἀντίτυπον. ἔνθεν τοι καὶ ὁ ἀὴρ σύμπας δυνάμει διαφανὴς, ὅτι ἐγγὺς ὢν τοῦ πυρὸς καὶ τῇ φύσει, ὁσάκις οὐκ ἐκπυροῦται, θᾶττον ἀλλοιοῦται μετειληφὼς ἕξεως τοῦ φωτὸς, ὥσπερ γοῦν ἐκ τοῦ πυρὸς μετέχει τοῦ θερμοῦ, ἤτοι καὶ τοῦ διαφανοῦς. ἔστι γὰρ πρὸς πᾶσαν ἀλλοίωσιν ταχὺς, διότι εὐόριστος καὶ περίτροπος. κἂν γὰρ κώνωψ σαλπίσῃ, ταχέως τὴν πλῆξιν ἀνεδέξατο, καὶ διήχησε· κἂν μύρμηξ διέφθορε, τὴν σῆψιν ἀνέδωκε, καὶ τῶν ἐλαχίστων ἅμα ταῖς τροπαῖς ὑποδὺς, ταχέως αὐτῶν ἀπαλλάσσεται. ἡ δὲ γῆ στεγανὴς οὖσα φέρει τὸ ἀντίτυπον, καὶ τὸ πάθος, ὅ, τι ποτ' ἂν πάθοι, διακρατεῖ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006